# Nausifanés

Testimonia DK 75 A

**A 1** = Diogenés Laertios, Vitae philosophorum I, 15

Δημόκριτος οὗ πολλοὶ μέν, ἐπ᾽ ὀνόματος δὲ Ναυσιφάνης (καὶ Ναυκύδης), ὧν ᾽Επίκουρος.

**A 2** = Diogenés Laertios, Vitae philosophorum IX, 64

καταληφθεὶς δέ ποτε καὶ αὑτῶι λαλῶν καὶ ἐρωτηθεὶς τὴν αἰτίαν ἔφη μελετᾶν χρηστὸς εἶναι. ἔν τε ταῖς ζητήσεσιν ὑπ᾽ οὐδενὸς κατεφρονεῖτο διὰ τὸ <καὶ δι>εξοδικῶς λέγειν καὶ πρὸς ἐρώτησιν· ὅθεν καὶ Ναυσιφάνην ἤδη νεανίσκον ὄντα θηραθῆναι. ἔφασκε γοῦν γίνεσθαι δεῖν τῆς μὲν διαθέσεως τῆς Πυρρωνείου, τῶν δὲ λόγων τῶν ἑαυτοῦ. ἔλεγέ τε πολλάκις καὶ ᾽Επίκουρον θαυμάζοντα τὴν Πύρρωνος ἀναστροφὴν συνεχὲς αὐτοῦ πυνθάνεσθαι περὶ αὐτοῦ ...

**A 3** = Diogenés Laertios, Vitae philosophorum IX, 69

διήκουσε τοῦ Πύρρωνος ... ἔτι τε Ναυσιφάνης <ὁ> Τήιος, οὗ φασί τινες ἀκοῦσαι ᾽Επίκουρον.

**A 4** = Suidás, Lexicon

᾽Επίκουρος ... ἀκούσας δὲ Ναυσιφάνους τοῦ Δημοκριτείου καὶ Παμφίλου τοῦ Πλάτωνος μαθητοῦ ...

**A 5** = Cicero, De nat. d. I, 26, 73

sed hunc Platonicum mirifice contemnit Epicurus: ita metuit, ne quid umquam didicisse videatur. in Nausiphane Democriteo tenetur, quem cum a se non neget auditum, vexat tamen omnibus contumeliis. atqui si haec Democritea non audisset, quid audierat? quid est in physicis Epicuri non a Democrito?

**A 6** = Díogenés Laertios, Vitae philosophorum X, 14

᾿Αρίστων δέ φησιν ἐν τῶι ᾿Επικούρου βίωι τὸν Κανόνα γράψαι αὐτὸν ἐκ τοῦ Ναυσιφάνους Τρίποδος, οὗ καὶ ἀκοῦσαί φησιν αὐτός, ἀλλὰ καὶ Παμφίλου τοῦ Πλατωνικοῦ ἐν Σάμωι. ἄρξασθαί τε φιλοσοφεῖν ἐτῶν ὑπάρχοντα δυοκαίδεκα.

**A 7** /1 = Sextos Empeirikos, Adversus mathematicos I, 2

διὰ τὴν πρὸς Ναυσιφάνην τὸν Πύρρωνος ἀκουστὴν ἔχθραν· πολλοὺς γὰρ τῶν νέων συνεῖχε καὶ τῶν μαθημάτων σπουδαίως ἐπεμελεῖτο, μάλιστα δὲ ῥητορικῆς. γενόμενος οὖν τούτου μαθητὴς ὁ ᾿Επίκουρος ὑπὲρ τοῦ δοκεῖν αὐτοδίδακτος εἶναι καὶ αὐτοφυὴς φιλόσοφος ἠρνεῖτο ἐκ παντὸς τρόπου, τήν τε περὶ αὐτοῦ φήμην ἐξαλείφειν ἔσπευδε, πολύς τε ἐγίνετο τῶν μαθημάτων κατήγορος ἐν οἷς ἐκεῖνος ἐσεμνύνετο. φησὶ γοῦν ἐν τῆι Πρὸς τοὺς ἐν Μυτιλήνηι φίλους ἐπιστολῆι (fr. 114 Us.) ᾿οἶμαι δὲ ἔγωγε τοὺς βαρυστόνους καὶ μαθητήν με δοξάζειν τοῦ πλεύμονος εἶναι μετὰ μειρακίων τινῶν κραιπαλώντων ἀκούσαντα᾿, νῦν ᾿πλεύμονα᾿ καλῶν τὸν Ναυσιφάνην ὡς ἀναίσθητον· καὶ πάλιν προβὰς πολλά τε κατειπὼν τἀνδρὸς ὑπεμφαίνει τὴν ἐν τοῖς μαθήμασιν αὐτοῦ προκοπὴν λέγων ᾿καὶ γὰρ πονηρὸς ἄνθρωπος ἦν καὶ ἐπιτετηδευκὼς τοιαῦτα, ἐξ ὧν οὐ δυνατὸν εἰς σοφίαν ἐλθεῖν᾿, αἰνισσόμενος τὰ μαθήματα.

**A 7** /2 = Pap. Herc. 1005 fr. 24 (Voll. Herc. coll. alt. I, 132n)

᾿<αὐτοῦ> ταῖς ἡμερ<οκ>ωμίαις ἐν Τέωι συσχόμενος π<ρὸ> τοῦ σοφιστεῦσαι, τοῦ τ᾿ ᾿Αναξαγόρου ἀναγινώσκοντος καὶ ᾿Εμπεδοκλέους καὶ περὶ ταῦτα τερθρευομένου κατατεταμένως᾿ ἢ πάλιν ᾿ὁ τοὺς ῾Ερμοκοπίδας ἐν Τέωι συ<σ>τήσα<ς κατὰ Δ>ημόκριτον καὶ <Λεύκιπ>πον πραγματευ<ομένου ἀκουσομένους>᾿.

**A 8** = Diogenés Laertios, Vitae philosophorum X, 13

τοῦτον ᾿Απολλόδωρος ἐν Χρονικοῖς Ναυσιφάνους ἀκοῦσαί φησι καὶ Πραξιφάνους· αὐτὸς δὲ οὔ φησιν, ἀλλ᾿ ἑαυτοῦ ἐν τῆι Πρὸς Εὐρύλοχον ἐπιστολῆι (fr. 123 Us.).

**A 9** = Diogenés Laertios, Vitae philosophorum X, 7

καὶ ἐν ταῖς ἑπτὰ καὶ τριάκοντα βίβλοις ταῖς Περὶ φύσεως τὰ πλεῖστα ταὐτὰ λέγειν καὶ ἀντιγράφειν ἐν αὐταῖς ἄλλοις τε καὶ Ναυσιφάνει τὰ πλεῖστα, καὶ αὐτῆι λέξει φάσκειν οὕτως ᾽ἀλλ᾽ ἴτωσαν (?)· εἶχε γὰρ ἐκεῖνος ὠδίνων τὴν ἀπὸ τοῦ στόματος καύχησιν τὴν σοφιστικήν, καθάπερ καὶ ἄλλοι πολλοὶ τῶν ἀνδραπόδων᾽ (fr. 93 Us.). καὶ <τὸν> αὐτὸν ᾽Επίκουρον ἐν ταῖς ᾽Επιστολαῖς περὶ Ναυσιφάνους λέγειν· ᾽ταῦτα ἤγαγεν αὐτὸν εἰς ἔκστασιν τοιαύτην, ὥστε μοι λοιδορεῖσθαι καὶ ἀποκαλεῖν διδάσκαλον᾽ (fr. 113 Us.). ᾽πλεύμονά᾽ τε αὐτὸν ἐκάλει καὶ ᾽ἀγράμματον᾽ καὶ ᾽ἀπατεῶνα᾽ καὶ ᾽πόρνην᾽ (fr. 236 Us.).